GREK 2051 (Spring 2006)

**BIBLICAL READINGS**

supplement to Shelmerdine

**Chapter 25**

After being tortured by Satan, Job utters a curse.

μετὰ τοῦτο ἤνοιξεν Ιωβ τὸ στόμα αὐτοῦ 2 καὶ κατηράσατο τὴν ἡμέραν αὐτοῦ λέγων
3 Ἀπόλοιτο ἡ ἡμέρα, ἐν ᾗ ἐγεννήθην, καὶ ἡ νύξ, ἐν ᾗ εἶπαν Ἰδοὺ ἄρσεν. 4 ἡ ἡμέρα
ἐκείνη εἴη σκότος, καὶ μὴ ἀναζητήσαι αὐτὴν ὁ κύριος ἄνωθεν, μηδὲ ἔλθοι εἰς αὐτὴν
φέγγος· 5 ἐκλάβοι δὲ αὐτὴν σκότος καὶ σκιὰ θανάτου, ἐπέλθοι ἐπ᾽ αὐτὴν γνόφος. 6
καταραθείη ἡ ἡμέρα καὶ ἡ νὺξ ἐκείνη, ἀπενέγκαιτο αὐτὴν σκότος· μὴ εἴη εἰς ἡμέρας
ἐνιαυτοῦ μηδὲ ἀριθμηθείη εἰς ἡμέρας μηνῶν· 7 ἀλλὰ ἡ νὺξ ἐκείνη εἴη ὀδύνη, καὶ μὴ
ἔλθοι ἐπ᾽ αὐτὴν εὐφροσύνη μηδὲ χαρμονή· 8 ἀλλὰ καταράσαιτο αὐτὴν ὁ
καταρώμενος τὴν ἡμέραν ἐκείνην ὁ μέλλων τὸ μέγα κῆτος χειρώσασθαι. 9
σκοτωθείη τὰ ἄστρα τῆς νυκτὸς ἐκείνης, ὑπομείναι καὶ εἰς φωτισμὸν μὴ ἔλθοι καὶ
μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, 10 ὅτι οὐ συνέκλεισεν πύλας γαστρὸς μητρός μου·
ἀπήλλαξεν γὰρ ἂν πόνον ἀπὸ ὀφθαλμῶν μου.

(Ιωβ 3.1-10)

ἀναζητέω investigate, peer into
ἀνατέλλω raise up, bring to light
ἀνοίγνυμι open
ἄνωθεν upwards
ἀπαλλάσσω remove
ἀπόλλυμαι –ολοῦμαι -ωλόμην perish
ἀποφέρω –οίσω -ένεγκα carry away
ἀριθμέω count
ἄρσην –ενος ὁ male
ἄστρον –ου τό star
γαστήρ -ρός ὁ stomach, womb
γνόφος –ου ὁ dark cloud
ἐκλαμβάνω take away
ἐνιαυτός –οῦ ὁ every year
ἐπέρχομαι –εἶμι -ῆλθον come to
εὐφροσύνη –ης ἡ happy mood
ἑωσφόρος –ον bringing the dawn
ἴδοι aor. optative < εἶδον < ὁράω see
ἰδού look!
καταράομαι curse
κῆτος –ους τό sea monster
κύριος –ου ὁ Lord
μήν μηνός ὁ month
ὀδύνη –ης ἡ pain
ὀφθαλμός –οῦ ὁ eye
πόνος –ου ὁ pain
πύλη –ης ἡ gate
σκιά –ᾶς ἡ shadow
σκότος –ου ὁ darkness
σκοτόω make dark
στόμα –ατος τό mouth
συγκλείω shut closed
ὑπομένω remain, stay behind
φέγγος –ους τό light
φωτισμός –οῦ ὁ illumination
χαρμονή -ῆς ἡ delight
χειρόω take in hand, manage